ἔγραψα βιβλίον καὶ ἐσφραγισάμην καὶ ἐπεμαρτυράμην μάρτυρας·
καὶ ἡ πόλις ἐδόθη εἰς χεῖρας Χαλδαίων.
[26]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [27]Ἐγὼ κύριος ὁ 26 27
θεὸς πάσης σαρκός· μὴ ἀπ᾽ ἐμοῦ κρυβήσεταί τι; [28]διὰ τοῦτο οὕ- 28
τως εἶπεν κύριος ὁ θεὸς Ισραηλ Δοθεῖσα παραδοθήσεται ἡ πόλις
αὕτη εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ λήμψεται αὐτήν, [29]καὶ 29
ἥξουσιν οἱ Χαλδαῖοι πολεμοῦντες ἐπὶ τὴν πόλιν ταύτην καὶ καύ-
σουσιν τὴν πόλιν ταύτην ἐν πυρὶ καὶ κατακαύσουσιν τὰς οἰκίας,
ἐν αἷς ἐθυμιῶσαν ἐπὶ τῶν δωμάτων αὐτῶν τῇ Βααλ καὶ ἔσπενδον
σπονδὰς θεοῖς ἑτέροις πρὸς τὸ παραπικρᾶναί με. [30]ὅτι ἦσαν οἱ 30
υἱοὶ Ισραηλ καὶ οἱ υἱοὶ Ιουδα μόνοι ποιοῦντες τὸ πονηρὸν κατ᾽
ὀφθαλμούς μου ἐκ νεότητος αὐτῶν· [31]ὅτι ἐπὶ τὴν ὀργήν μου καὶ 31
ἐπὶ τὸν θυμόν μου ἦν ἡ πόλις αὕτη ἀφ᾽ ἧς ἡμέρας ᾠκοδόμησαν
αὐτὴν καὶ ἕως τῆς ἡμέρας ταύτης ἀπαλλάξαι αὐτὴν ἀπὸ προσώπου
μου [32]διὰ πάσας τὰς πονηρίας τῶν υἱῶν Ισραηλ καὶ Ιουδα, ὧν 32
ἐποίησαν πικρᾶναί με αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν καὶ οἱ ἄρχοντες
αὐτῶν καὶ οἱ ἱερεῖς αὐτῶν καὶ οἱ προφῆται αὐτῶν, ἄνδρες Ιουδα
καὶ οἱ κατοικοῦντες Ιερουσαλημ, [33]καὶ ἐπέστρεψαν πρός με νῶτον 33
καὶ οὐ πρόσωπον, καὶ ἐδίδαξα αὐτοὺς ὄρθρου καὶ ἐδίδαξα, καὶ οὐκ
ἤκουσαν ἐπιλαβεῖν παιδείαν· [34]καὶ ἔθηκαν τὰ μιάσματα αὐτῶν ἐν 34
τῷ οἴκῳ, οὗ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ᾽ αὐτῷ, ἐν ἀκαθαρσίαις αὐ-
τῶν [35]καὶ ᾠκοδόμησαν τοὺς βωμοὺς τῇ Βααλ τοὺς ἐν φάραγγι 35
υἱοῦ Εννομ τοῦ ἀναφέρειν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας
αὐτῶν τῷ Μολοχ βασιλεῖ, ἃ οὐ συνέταξα αὐτοῖς καὶ οὐκ ἀνέβη ἐπὶ
καρδίαν μου, τοῦ ποιῆσαι τὸ βδέλυγμα τοῦτο πρὸς τὸ ἐφαμαρτεῖν τὸν
Ιουδαν. — [36]καὶ νῦν οὕτως εἶπεν κύριος ὁ θεὸς Ισραηλ ἐπὶ τὴν 36
πόλιν, ἣν σὺ λέγεις Παραδοθήσεται εἰς χεῖρας βασιλέως Βαβυλῶνος
ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ καὶ ἐν ἀποστολῇ [37]Ἰδοὺ ἐγὼ συνάγω αὐ- 37
τοὺς ἐκ πάσης τῆς γῆς, οὗ διέσπειρα αὐτοὺς ἐκεῖ ἐν ὀργῇ μου καὶ
τῷ θυμῷ μου καὶ παροξυσμῷ μεγάλῳ, καὶ ἐπιστρέψω αὐτοὺς εἰς
τὸν τόπον τοῦτον καὶ καθιῶ αὐτοὺς πεποιθότας, [38]καὶ ἔσονταί μοι 38
εἰς λαόν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν. [39]καὶ δώσω αὐτοῖς ὁδὸν 39
ἑτέραν καὶ καρδίαν ἑτέραν φοβηθῆναί με πάσας τὰς ἡμέρας εἰς

25 βιβλιον] pr. εις A† || 27 κρυβεται S*† | τι] ετι AQ*† || 28 ο θεος ισραηλ > S = 𝔐, cf. etiam 40 4 || 29 πολιν $1^0$] την A† | κατακαυσ.] καυσ. A† | την οικιαν S*† | εθυμιωσαν (sic BSA†, cf. 11 12 19 13 Thack. p. 214)] + εν αυταις A || 30 οι $1^0$ > S†, $2^0$ > S | κατ οφθ. μου / εκ νεοτ. αυ.] tr. A† || 31 αυτην ult.] -τους A† || 32 των > SA | πικραναι] pr. παρα SA: cf. 29 | αυτοι] + και οι πατερες αυτων A† | ιερουσ.] pr. εν BA pau.: cf. 4 4 || 33 επεστρεψαν] απ. BA† | και εδιδαξα $2^0$ > A | ηκουσαν] ηθελησαν A† | επιλαβειν Ra.] ετι λαβ. BSA: cf. 38 4; εκλαβ. mu. || 34 ου] ω A† || 35 βωμους] + αυτων A† | καρδιαν] pr. την A | ιουδαν] ν > B*A† || 37 εγω > S*† | καθιω] κατοικειω A† || 39 εις unus cod.] pr. και BSA